Ephraem <Syrus>; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 59



τρως χαυνώσωσι πάλιν αὐτοὺς, καὶ τὸν ἡνίοχον καταβαλόντες σύρουσιν. Ὁμοίως καὶ σκάφος ἐν τῷ πελάγει ὑπὲρ τὸ σήκωμα ἐὰν φορτοῦται, ἀπὸ τῶν κυμάτων βαπτίζεται καὶ καταποντοῦται, καὶ κουφοῦται· ἄνευ φόρτου ἐὰν πλέῃ, καὶ ἀπὸ τῶν ἀνέμων τάχιον καταστρέφεται. Ὁμοίως ἥ τε ψυχὴ καὶ τὸ σῶμα, ἐὰν αὐτὰ ὑπὲρ τὸ μέτρον βαρηθῶσι περιπίπτουσι. Διὰ τοῦτο καλόν ἐστι τοῦ ἄρξασθαι καὶ ἐπιτελέσαι, καὶ τῷ Θεῷ εὐαρεστῆσαι, σεαυτῷ δὲ καὶ τῷ πλησίον σου χρησιμεῦσαι. Τὸ εὐλογημένον τοῦ Χριστοῦ ποίμνιον, καὶ φωστῆρες τῆς οἰκουμένης, καὶ τὸ ἅλας τῆς γῆς ὑμεῖς ἐστε, οἱ τέλειοι Ἀσκηταὶ, οἱ τὴν ἀγγελικὴν πολιτείαν ἐπὶ γῆς ἀγαπήσαντες. Ὁ ἀγὼν ὑμῶν πρόσκαιρος, ἡ δὲ ἀνταπόδοσις, καὶ ὁ ἔπαινος αἰώνιος. Καὶ ὁ μὲν κόπος ὑμῶν βραχὺς, ἡ δὲ ἀνάπαυσις καὶ ἡ τελειότης ἀγήρω. Ὅσον δὲ προθύμως ὑμεῖς ἀγωνίζεσθε τὴν ἀρετὴν κατορθοῦντες, τοσοῦτον ὁ ἐχθρὸς ὑμῶν εἰς μανίαν ἐξάπτεται, ποικίλας παγίδας κρύπτων καθ' ὑμῶν. Προσέχετε τοίνυν ἑαυτοῖς ἀπὸ τῶν ἐνεδρῶν αὐτοῦ· ἄνευ γὰρ ἀγῶνος, οὐδεὶς στεφανοῦται· ἀλλ' οὐδὲ ἡ χάρις τοῦ Θεοῦ ἐγκαταλείπει τὸν προθύμως πολεμοῦντα καὶ ἀγωνιζόμενον. Εἰ δέ τις χαυνώσας ἑαυτὸν, ὄκνει τὸ στόμα αὐτοῦ διανοῖξαι, καὶ ἐπικαλέσασθαι, εἰς ἀντίληψιν, τὴν χάριν, ἑαυτὸν αἰτιάσθω, καὶ μὴ αὐτὴν, ὡς μὴ βοηθούμενος ὑπ' αὐτῆς. Καθάπερ γάρ τις ὑγιεῖς τὰς χεῖρας ἔχων, προκειμένης ἀφθονίας ἐδεσμάτων, ὀκνεῖ ἐκτεῖναι αὐτὰς, καὶ πληρῶσαι τῶν προκειμένων ἀγαθῶν· οὕτω καὶ ὁ μοναχὸς ὁ ἔχων πεῖραν τῆς χάριτος καὶ ἀμελῶν ἐπικαλέσασθαι αὐτὴν, καὶ ἐμπλησθῆναι τῶν ἐδεσμάτων τῆς γλυκύτητος αὐτῆς. Ἔοικεν ὁ μοναχὸς στρατιώτῃ ἰόντι εἰς πόλεμον, καὶ φράσσοντι αὐτοῦ τὸ σῶμα τῇ παντευχίᾳ πάντοθεν· νήφων ἕως τῆς νίκης, καὶ ἀγωνιῶν· μὴ ἄφνω ἐπιρρίψῃ αὐτῷ ὁ πόλεμος, καὶ ἀφύλακτος εὑρεθεὶς, ληφθῇ ὑπ' αὐτοῦ. Ὁμοίως καὶ ὁ μοναχὸς, ἐὰν χαυνώσας ἑαυτὸν ἀπορραθυμήσῃ, δυσχερῶς ἁλίσκεται ἀπὸ τοῦ ἐχθροῦ· ἐμβάλλει γὰρ αὐτῷ λογισμοὺς ῥυπαροὺς, οὓς ἡδέως παραδέχεται, τοὺς τῆς ὑψηλοφροσύνης, φημὶ, καὶ κενοδοξίας, φθόνον τε καὶ καταλαλιὰν, γαστριμαργίαν καὶ ὕπνον ἀκόρεστον, καὶ πρὸς τούτοις, εἰς ἀπόγνωσιν τοῦτον ἄγει, καὶ ἀπελεγμὸν τῶν κακῶν. Ἐὰν δὲ νήφῃ διαπαντὸς, ἐπισπᾶται τὴν χάριν τοῦ Θεοῦ εἰς βοήθειαν· ἀντιλαμβάνεται ὑπ' αὐτοῦ, πῶς ἀρέσει αὐτῷ· γίνεταί τε ἐν αὐτῷ ἐπαινετὸς καὶ



A xisti ? Etenim equos siquis immoderatius
ad cursum concitarit, solo postmodum stre-
pitu terrentur : contra vero si nimium re-
laxati fuerint, ipsum etiam aurigam deji-
ciunt, dejectumque per diversa trahunt.
Similiter & scapha in mari si pondere nimio
gravata fuerit, facile fluctibus concutitur
atque submergitur: at si levis, & sine one-
re naviget, citius ventorum vi subvertitur.
Similiter quoque & anima & corpus si su-
B pra modum onerentur, in ea quæ ante di-
ximus, incidunt. Atque ideo bonum est,
ita unumquemque incipere, ut perficiat,
Deoque placere queat, & sibi ipsi utilis sit
ac proximo. Vos estis benedictus grex Chri-
sti, vos luminaria mundi, & sal terræ, qui
perfecti ac veri monachi estis, angelicam-
que conversationem diligitis. Certamen qui-
dem vestrum temporarium ac momentaneum
est; at retributio & laus æterna. Labor
C vester brevis; at requies & perfectio num-
quam senescens. Quanto vos alacrius decer-
tatis, virtutemque excolitis; tanto magis
adversarius vester furore atque insania ac-
cenditur, diversosque in perniciem vestram
laqueos occulte tendit. Attendite ergo vo-
bis ipsis ab insidiis ejus. Nemo enim absque 1. *Tim.* 2.
certamine coronatur. At gratia Dei nullum
unquam derelinquet, qui promte alacriter-
que pugnaverit. Si quis vero per ignaviam
D seipsum relaxans, os suum aperire, ejus-
que gratiam in auxilium suum invocare ne-
glexerit, seipsum jam incuset, & non gra-
tiam, quasi ab ea deseratur. Quemadmo-
dum enim si quis manibus sanus sit, ha-
beatque ante se escas plurimas appositas,
& segnitie torpens, noluerit ori suo eas
admovere, iisque vesci: ita quoque mona-
chus, qui gratiam expertus est, si negle-
xerit ipsam invocare, & dulcedine ciborum
E ejus repleri. Similis est monachus militi ad
bellum proficiscenti, qui corpus suum ar-
mis undique munit, & vigilat, decertat-
que, donec victoriam obtinuerit, ne forte
adversarius repente in eum irruat, incau-
tumque dejiciat atque apprehendat. Eodem
modo & monachus si inertia seipsum rela-
xaverit, facillime ab inimico capietur ac
prosternetur. Immittit siquidem ille in cor
ejus cogitationes turpes ac sordidas, quas
F hic libenter in se admittit ac recipit; super-
biam præterea, ac vanam gloriam, invi-
diam, detractionem, gulam, insatiabi-
lemque somnum: & inter hæc omnia, in
desperationem illum agit, & in reprobatio-
nem malorum. Cæterum si sollicitus sem-
per vigilaverit, Dei gratiam in suum præ-
sidium implorabit, ab eoque adjuvabitur,
edocebiturque, quomodo placeat ei, fiet-



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0307
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg